ἔτι δ’ ὁμιλίαι καὶ προσαγορεύσεις, παντάπασι γενήσεται σατραπικὸν ἡμῖν ἀντὶ φιλικοῦ τὸ συμπόσιον· εἰ δὲ περὶ τἆλλα τὴν ἰσότητα τοῖς ἀνδράσι φυλάξομεν, τί οὐκ ἐντεῦθεν ἀρξάμενοι πρῶτον ἐθίζομεν ἀτύφως καὶ ἀφελῶς κατακλίνεσθαι μετ’ ἀλλήλων, εὐθὺς ἀπὸ τῶν θυρῶν
F ὁρῶντας, ὅτι δημοκρατικόν ἐστι τὸ δεῖπνον καὶ οὐκ ⟨ἔχει τόπον⟩ ἐξαίρετον ὥσ⟨περ ἀκρό⟩πολιν, ἐφ’ οὗ κατακλιθεὶς ὁ πλούσιος ἐντρυφήσει τοῖς εὐτελεστέροις;’

**4.** Ἐπεὶ δὲ καὶ ταῦτ’ ἐρρήθη καὶ τὴν κρίσιν ἀπῄτουν οἱ παρόντες, ἔφην ἐγὼ διαιτητὴς ᾑρημένος οὐ κριτὴς βαδιεῖσθαι διὰ μέσου. ‘νέους μὲν γάρ’ εἶπον ‘ἑστιῶντας
617 καὶ πολίτας καὶ συνήθεις ἐθιστέον, | ὥς φησι Τίμων, ἀφελῶς καὶ ἀτύφως κατανέμειν αὑτοὺς εἰς ἣν ἂν τύχωσι χώραν, καλὸν εἰς φιλίαν ἐφόδιον τὴν εὐκολίαν λαμβάνοντας· ἐν δὲ ξένοις ἢ ἄρχουσιν ἢ πρεσβυτέροις φιλοσοφοῦντες δέδια μὴ δοκῶμεν τῇ αὐλείῳ τὸν τῦφον ἀποκλείοντες εἰσάγειν τῇ παραθύρῳ μετὰ πολλῆς ἀδιαφορίας. ἐν ᾧ καὶ συνηθείᾳ τι καὶ νόμῳ δοτέον· ἢ καὶ προπόσεις καὶ προσαγορεύσεις ἀνέλωμεν, αἷσπερ οὐ τοὺς ἐπιτυγχάνοντας οὐδ’ ἀκρίτως ἀλλ’ ὡς ἐνδέχεται †μάλιστα χρώμενοι τιμῶμεν (*Θ* 162. *Μ* 311)